# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

## 9

## 1912

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ — ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τ.Υ. Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

# ΣΥΝΟΔΙΚΟΝ ΓΡΑΜΜΑ

## ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΛΛΙΝΙΚΟΥ

Τὸ ἑπόμενον συνοδικὸν γράμμα τοῦ πατριάρχου Κωνσταντινουπόλεως Καλλινίκου, ἐκδεδομένον τὸν Ἀπρίλιον 1698 καὶ ἀναφερόμενον εἰς τὸν διορισμὸν τοῦ πρώην Εὐρίπου Ἀμβροσίου ὡς μητροπολίτου Ἄργους καὶ Ναυπλίου, σώζεται ἐν πρωτοτύπῳ συνημμένον εἰς τὸ ὑπ' ἀρ. 35 Dispaccio τοῦ Βενετοῦ γενικοῦ προνοητοῦ Πελοποννήσου Φραγκίσκου Γριμάνη ἐν τῷ Δημοσίῳ ἀρχείῳ (R. Archivio de Stato) τῆς Βενετίας, ἐν τῷ φακέλῳ Senato III (Secreta) N° 7.

***Καλλίνικος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντίνου πόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.***

Ἀναγκαῖον ὑπέρ τι ἄλλο τῷ χριστωνύμῳ πληρώματι πέφυκε τὸ θεόδοτον χρῆμα τῆς αρχιερωσύνης, ἅτε πηγῆς ζωηῤῥύτου τελούσης[1] τῶν θείων καὶ ἱερῶν μυστηρίων, δι' ὧν μυεῖται τῶν Χριστιανῶν | ἕκαστος τὰ τῆς ὀρθοδόξου πίστεως προτερήματα καὶ τελειοποιεῖται τῇ ἐξ αὐτῶν θείᾳ χάριτι καὶ καταρτίζεται εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· | ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ μέγας ἀρχιερεὺς χρηματίσας, καὶ θῦμα καὶ θύτης ὁ αὐτὸς γεγονὼς ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, ὡς κλῆρον ἔνθεον ταύτην ἐκληροδότησε τοῖς αὐτό|πταις καὶ ἱεροῖς μαθηταῖς αὐτοῦ καὶ ἀποστόλοις καὶ δι' αὐτῶν ἀλληλοδιαδόχως ἐχαρίσατο τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ τὰ σωτήρια τοῦ ὀρθοδόξου συστήματος, ἀναγκαίαν οὖσαν ὡς εἴρηται | ἀναντιρρήτως. Καὶ γὰρ χωρὶς τῆς ἀρχιερωσύνης ταύτης οὐκ ἔνεστιν οἰκοδομὴν γενέσθαι, καὶ καταρτισμὸν σωτηρίας τοῖς εὐσεβέσι. Διὸ καὶ πανταχοῦ ἀναγκαίως ἀρχιερεῖς καθί|στασθαι νενομοθέτηται

1 Τὸ πρῶτον ἐγράφη τελοῦσης

Ε.Υ.Δ ΕΠΕΑΕΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ μὴ παραβλέπειν τοὺς Χριστιανοὺς ἔν τισι τῶν παροικιῶν, καὶ ἐστερημένους καταλιμπάνειν ταύτης τῆς σωτηριώδους χάριτος, ἀλλὰ προνοίας λόγοις ἡ τοῦ Χριστοῦ ἐκκλησία μεμάθηκε, χεῖρα βοηθὸν ὀρέγειν ἁπάσαις ταῖς ἐπαρχίαις καὶ παροικίαις, ἀντιλαμβάνεσθαί τε αὐτῶν, καὶ διὰ τῆς ἀρχιερατικῆς χάριτος ψυχαγωγεῖν | τὰς δεομένας τῆς σωτηριώδους ἀντιλήψεως. Ἔνθέν τοι καὶ τῆς ἁγιωτάτης μητροπόλεως Ναυπλίου καὶ Ἄργους, δίχα γνησίου ποιμένος ἐγκαταλειφθείσης πρὸ χρόνων ἱκανῶν ὡς τοῦ ἐν | αὐτῇ γνησίως καὶ νομίμως ἀρχιερατεύοντος κὺρ Σιλβέστρου πρὸς Κύριον ἐκδημήσαντος, ἡ μετριότης ἡμῶν τοὺς ἐκκλησιαστικοὺς οἴακας θεόθεν διέπειν λαχοῦσα, οὐ δέον ἔκρινεν | ἐπὶ πολὺ διαμένειν ταύτην ἀπροστάτευτον, καὶ τὰ ἐκκλησιαστικὰ αὐτῆς τηνάλως φέρεσθαι· ἀλλὰ διὰ κανονικῶν ψήφων τῆς ἱερᾶς συνόδου τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει | ἱερωτάτων συναδέλφων αὐτῆς ἀρχιεράων καὶ ὑπερτίμων κατὰ τὴν εκκλησιαστικὴν ὑποτύπωσιν, εὗρεν ἄξιον καὶ ἁρμόδιον ἐν προστασίᾳ ἀρχιερατικῇ τῆς αὐτῆς ἐπαρχίας τὸν ἱερώτατον μητροπολίτην πρώην Εὐρίπου κὺρ Ἀμβρόσιον, τὸν προστατεύοντα μέχρι τοῦ νῦν τῆς αὐτῆς μητροπόλεως οὐ τοσοῦτον γνησίως, διὰ τὸ μὴ λαβεῖν καὶ παρ' ἡμῶν ἄδειαν· | οὗ ἕνεκα καὶ επιτιμίῳ καθυπεβάλομεν αὐτόν [1] προλαβόντως, ἀλλ' ἤδη προςπεσὼν τῷ ἐλέει τῆς ἐκκλησίας ἐζήτησε συγχωρήσεως τυχεῖν, καὶ λύσεως τοῦ επιτιμίου ἐκείνου [2]· τοῦτον γοῦν λόγῳ μεταθέσεως προβαλόντες τανῦν ἀνεδείξαμεν μητροπολίτην τῆς αὐτῆς μητροπόλεως Ναυπλίου καὶ Ἄργους γνήσιον καὶ νόμιμον, καὶ κανονικὸν κατὰ τὴν ἐκλογὴν | καὶ τὰς ψήφους τῆς ιερᾶς συνόδου, καὶ ποιμένα, καὶ προστάτην τοῦ ἐκεῖσε χριστωνύμου πληρώματος κατεστήσαμεν· διὸ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς, | ἵνα, ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτη Ναυπλίου, καὶ Ἄργους, καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἀμβρόσιος ὑπάρχων συγκεχωρημένος καὶ λελυμένος | ἐκείνου τοῦ παρ' ἡμῶν καταγραφέντος ἐπιτιμίου καὶ τῶν ἀρῶν ἐλεύθερος, εἴη καὶ λέγηται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀρχιερεὺς τῆς αὐτῆς μητροπόλεως Ναυπλίου καὶ Ἄργους γνήσιος | καὶ νόμιμος· καὶ κανονικός· καὶ ὀφείλει ἐπιλαβέσθαι αὐτῆς τῆς θεόθεν αὐτῷ κληρωθείσης ἐπαρχίας μετὰ πάσης τῆς ἐνορίας αὐτῆς, καὶ πάντων τῶν προςόντων αὐτῇ ἄνωθεν | καὶ

1 Τὸ πρῶτον εἶχε γραφὴ αὐτῷ

2 Τὸ πρῶτον εἶχε γραφὴ *ἐκεῖνον*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐξαρχῆς ὁρίων τε. καὶ χωρίων κτημάτων τε. καὶ πραγμάτων. καὶ τῶν λοιπῶν δικαίων καὶ προνομίων καὶ εἰςηγεῖσθαι καὶ περιέπειν τὸ ἐν αὐτῇ λογικὸν τοῦ Χριστοῦ ποίμνιον· | καὶ νουθετεῖν τὰ ψυχωφελῆ καὶ σωτήρια. καὶ ἀνάγειν ἐπὶ τὸ βέλτιον. ταῖς τε εὐαγγελικαῖς καὶ ἀποστολικαῖς εἰςηγήσεσι. καὶ τῷ κατ' αὐτὸν ὑποδείγματι τοῖς πᾶσι τὰ πάντα γιγνό|μενος κατὰ τὸν μακάριον Παῦλον· ἵνα πάντας ἢ τοὺς πλείονας κερδίσῃ, καὶ προςαγάγῃ θεῷ λαὸν περιούσιον· πρὸς τούτους ἔχῃ ἄδειαν ἐκτελεῖν τὰ τῆς ἀρχιερωσύνης, | ἐν ταύτῃ τῇ μητροπόλει αὐτοῦ καὶ ἐν πάσῃ τῇ ἐνορίᾳ καὶ τοῖς χωρίοις αὐτῆς ἀκωλύτως, μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως ἀναγνώστας σφραγίζειν. ὑποδιακόνους. καὶ | διακόνους χειροτονεῖν καὶ εἰς τὸ τοῦ πρεσβυτέρου ἀξίωμα προβιβάζειν, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν δι' οἰκείων ἐνταλμάτων. θείους καὶ ἱεροὺς. ναοὺς καθιεροῦν τῷ ἑαυτοῦ σταυροπηγίῳ | κείρειν μοναχούς τε καὶ μοναζούσας καὶ τἄλλα πάντα διαπράττειν ὡς γνήσιος μητροπολίτης Ναυπλίου καὶ Ἄργους καὶ ὢν καὶ καλούμενος. τηρῶν ἐν ἅπασι τοῖς ὑπ' αὐτοῦ πραττομένοις | τὴν κανονικὴν ἀκρίβειαν. καὶ τὰς ἐκκλησιαστικὰς καὶ νομίμους παραδόσεις, ὡς λόγον ἀποδώσων θεῷ.·. ὀφειλόντων καὶ πάντων τῶν εὑρισκομένων ἐν αὐτῇ τῇ ἐπαρχίᾳ αὐτοῦ | καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῆς εὐλογημένων Χριστιανῶν ἱερωμένων καὶ λαϊκῶν μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις. καὶ τὴν | προςήκουσαν αὐτῷ ἀπονέμειν τιμὴν καὶ εὐλάβειαν, καὶ ὑποταγὴν καὶ εὐπείθειαν καὶ ὑπακούειν καὶ ὑποτάσσεσθαι αὐτῷ ἐφοῖς ἂν λέγῃ πρὸς αὐτοὺς, ἀφορῶσιν εἰς ψυχικὴν λυσιτέ|λειαν, καὶ στέργειν, καὶ ἀγαπᾶν. αὐτὸν. ὡς ποιμένα πνευματικὸν. καὶ ἀρχιερέα καὶ προστάτην αὐτῶν. ἡ γὰρ πρὸς αὐτὸν γινομένη τιμὴ καὶ εὐλάβεια, πρὸς τὴν ἡμῶν ἀνάγεται μετριότητα | καὶ δι' αὐτῆς εἰς θεὸν οὗ τύπον σώζει ὁ ἀρχιερεὺς ἐπὶ γῆς ἔτι δὲ συντρέχειν καὶ βοηθεῖν αὐτῷ ἐν πᾶσι τοῖς χρειώδεσι καὶ ἀναγκαίοις αὐτοῦ καὶ παρέχειν ἅπαντα τὰ ἀνήκοντα | αὐτῷ ἐκκλησιαστικὰ εἰςοδήματα καὶ δικαιώματα, κανονικὰ φημὶ, συνοικέσια, πανηγύρεις, ζητίας καὶ εἴ τι ἄλλο σύνηθες τῷ τόπῳ, εἰρηνικῶς, καὶ εὐγνωμόνως καὶ οὐδὲν | αὐτῷ ἀντιφέρεσθαι ἢ ἐναντιοῦσθαι τοσύνολον. προςέτι κατεστήσαμεν αὐτὸν καὶ ἡμέτερον ἐπίτροπον, καὶ ἔξαρχον πατριαρχικὸν ἐπιτηρεῖν καὶ διοικεῖν τὰ αὐτόθι ἡμέτερα. | πατριαρχικὰ σταυροπήγια. καὶ λαμβάνειν τὰ ἐτήσια αὐτῶν συδοσίματα καὶ πέμπειν πρὸς ἡμᾶς ἀσφαλῶς μηδενὸς αὐτῷ ἐναντιουμένου ἢ ἀντιλέγοντος ἱερομένου | ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ,

ΙΩΑΝΝΙΝΑ 2006

ὅθεν εἰς ἔνδειξιν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἡμῶν γράμμα εἰς διηνεκῆ καὶ μόνιμον | τὴν ἀσφάλειαν:—αχληθ : — ἐν μηνὶ Ἀπριλλίῳ :—Ἰνδικτιόνος :—ς : »

**† Ὁ Καισαρίας Κυπριανός : † Ὁ Νικομηδείας Παρθένιος : † Ὁ Νικαίας Γεννάδιος : † Ὁ Χαλκιδόνος Γαβριήλ : Ὁ αμασειας Ἰωαννίκιος : † Ὁ Προύσσης Κύριλλος : † Ὁ Φιλιππουπόλεως Νεόφυτος : † Ὁ Ἀθηνῶν Κύριλλος : † Ὁ Διδοιμετοίχου Ἱερεμίας :**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006